ἐκράτησεν τὸ παλαι-
όν, ἐπέσκηψε δὲ Πέρσαις
πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας
τε κλόνους πόλεών τ᾽ ἀναστάσεις.
antistr. 3. ἔμαθον δ᾽ εὐρυπόροι-
ο θαλάσσης πολιαι-
νομένης πνεύματι λάβρῳ
ἐσορᾶν πόντιον ἄλσος,
πίσυνοι λεπτοδόμοις πεί-
σμασι λαοπόροις τε μηχαναῖς.
epod. δολόμητιν δ᾽ ἀπάταν θεοῦ
τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πηδή-
ματος εὐπετέος ἀνάσσων;
φιλόφρων γὰρ παρασαίνου-
σα τὸ πρῶτον παράγει

94. ἐξ ἀρχῆς. τὸ παλαιόν: τὸ ἀνέκαθεν ἀνδρεῖοί εἰσι καὶ κατὰ εἱμαρμένην πολεμοῦσι. πολεμικοὶ δὲ ὄντες οὐχ ἡσσηθήσονται. 95. ἐπέσκηψε δέ: ἀντὶ τοῦ εἰδέναι ἐποίησεν. 99. ἔμαθον δ᾽ εὐρυπόροιο: οὐχ οἱ Πέρσαι ναυτικοί, ἀλλ᾽ οἱ ὑπήκοοι Περσῶν. τί (τινὲς Dindorfius) δὲ τὸ ἔμαθον φησὶν (φασὶν Dindorfius) ἀντὶ τοῦ μαθεῖν ἐποίησαν. 100. πολιαινομένας: ἀφριζομένης τῷ ἀφρῷ τῆς κωπηλασίας. 103. λεπτοδόμοις: τοῖς λεπτῶς κατεσκευασμένοις. 104. λαοπόροις τε μηχαναῖς: ταῖς τοὺς λαοὺς διαπορθμευούσαις, ἢ ταῖς ἀπὸ τῆς κωπηλασίας μηχαναῖς ταῖς ὑπὸ τῶν λαῶν γινομέναις· οὐχ ὡς αὐτῶν τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων. 105. δολόμητιν δ᾽ ἀπάταν: ὡς ἔδει παρατέτακται ὁ Ξέρξης. εἰ δὲ θεοῦ ἐπιβουλῇ τὰ τῆς νίκης ἀναβάλλεται, τίς ὁ νικήσων θεόν; 107. 108. πηδήματος εὐπετέος: εὐκινήτου. Ὅμηρος (Il. I. 501) ἡ δ᾽ Ἄτη σθεναρή τε καὶ ἀρτίπος, φθάνει δέ τε πᾶσαν ἐπ᾽ αἶαν. ἡ γὰρ ἐκ θεοῦ, φησίν, ἀμαύρωσις καὶ δόλωσις ἄφυκτός ἐστιν. ἅμα γὰρ δολοῖ καὶ προσαίνει καὶ κακοποιεῖ. 109. ἡ θεῶν ἀπάτη.

---

98. τ᾽ recc.: δ᾽ M. 100. πολιαινομένησ (·α· supra) M. 105—113. in M. inter 92 et 93 alieno loco insertos huc transferendos esse intellexit O. Muellerus.